A μένους διὰ τὴν ἑαυτῶν ἀμέλειαν, καὶ ὀλιγωρίαν ἀποφυγεῖν ἐῶσιν, οἱ τῶν Ἀρχόντων ζημίαν ἐπιτιθεῖσιν. ἀλλὰ ταῦτα πάντα, ἅπερ ὁ βάρβαρος βαρβάρως ἐκπροφέρει, ὡς καὶ τὰ ἄνω, καὶ τὰ ἑξῆς μέχρι τοῦ τέλους, ἑλληνικῶς οὕτως ἑρμηνευτέον. Ὀρθῶς δέ] ὁ τούτων νοῦς ἐστὶν εἶναι φαίνεται. ὁ Σκύθης τέλος καταμαθὼν τοὺς τῆς γραὸς δόλους, ἐνόμιζε καὶ τὴν συβήνην, ἣν πρότερον ἀντὶ τοῦ ἀργυρίου, ὃ ὑπὲρ τῆς κόρης διδόναι ὤφειλεν, ὑπ' αὐτῆς ἁρπαχθεῖσαν. ἀλλὰ παρὰ προσδοκίαν εὑρὼν αὐτήν, ταῦτα λέγει. ὀρθῶς ἔχει ἡ συβήνη. ὡς εἰ λέγοι, καὶ γὰρ ἐν ᾧ B χωρίῳ αὐτὴν ἐντεῦθεν ἀπερχόμενος ἔλιπον, ἐν τῷ αὐτῷ καὶ νῦν οὖσαν εὗρον. τὸ δὲ ἑξῆς καταβήνησι, ἄδηλον. εἰ μὴ ἀντὶ τοῦ κατέβη ληφθείη. ὅπερ ὡς καὶ τὰ λοιπὰ βαρβάρως ὑπὸ βαρβάρου λεχθείη. τοῦτο δὲ τὸ σύνθετον ἀντὶ τοῦ ἁπλοῦ ἔβη, ἢ καὶ ἀντὶ τοῦ ἀπέβη, ἤγουν ἀπῆλθε, ληπτέον. ἡ γραῦς οὖν ἀπῆλθεν. εἶτα ἐπιφέρει, οἴμοι τί δράσω; ποῖ τὸ γραΐδιον ἀπέφυγεν; Ἀρτεμισία τὸν γέροντα ἐπάναγε, καὶ ἀπόδος. Τὴν γραῦν ἐρωτᾷς] ὁ τῶν γυναικῶν χορὸς τὸν Σκύθην δεῦρο, κἀκεῖσε μάτην ὁρμώμενον, καὶ ἀποροῦντα ποῖ τραπείη, καὶ τίνα πορείαν μετέλθοι, ὅπως Εὐελπίδην φεύγοντα διώκῃ, καταλάβῃ, καὶ ἀνέλκῃ, πάντα τρόπον καταγελᾷ, καὶ σκώπτει. Τὰς πηκτίδας] πηκτίς, πυκτίδος, πανδουρομάχαιρα κρεωκόπος. παρὰ δὲ τῷ Ἀριστοφάνει ἐν ταῖς Θεσμοφοριαζούσαις, εἶδος ὀργάνου κιθαρῳδικοῦ. ἢ εἶδος ἀκολάστου σχήματος καὶ ἐν ἐπιγράμματι,

Ἀδὺ μέλος, νὴ Πᾶνα τὸν Ἀρκάδα, πηκτίδι μέλπεις.

Σ. ἄλλως. πηκτίς, πανδούριον, ψαλτήριον, σύριγξ, ὄργανον. καὶ πηκτίδες, καὶ σύριγγες, ὄργανα μουσικά. Ἡσύχιος. ἐκ δὲ τούτων ἴσως εἰκάσειεν ἄν τις παρὰ τῷ Σουΐδᾳ γραπτέον διὰ δυοῖν φωναῖν διεζευγμέναιν, πανδοῦρα μάχαιρα κρεωκόπος.

Σκ. Κροκῶτ' ἔκοντο τῆ γέροντο; Χο. φήμ' ἐγώ.
C Ἔτ' ἂν καταλάβοις, εἰ διώκοις ταυτηΐ.
Σκ. Ὦ μιαρὸ γραῦ. πότερα τρέξι τὴν ὁδὸ Ἀρταμουξία.
Χο. Ὀρθὴν ἄνω δίωκε. ποῖ θεῖς; οὐ πάλιν Τῇδε διώξεις; τοὔμπαλιν τρέχεις σύ γε.
Σκ. Κακόδαιμον ἀλλὰ τρέξι Ἀρταμουξία.
D Χο. τρέχε νῦν κατὰ τοὺς κόρακας ἐπουρίσας.
Ἀλλὰ πέπυσαι μετρίως ἡμῖν. ὥσθ' ὥρα δή 'στι βαδίζειν
Οἴκαδ' ἑκάστῃ.
Τὼ Θεσμοφόρω δ' ἡμῖν ἀγαθὴν
Τούτων χάριν ἀντιδοίτην.

*SC. Crocotulam habebat ne senex?* CHO. *assero ego.*
*Adhuc ipsum comprehenderes, si insequereris hàc.*
SC. *O scelesta anus, vtrum cucurrit hac via Artamuxia?*
CHO. *Recta via sursum insequere, quò curris? nonne rursus Hàc insequeris? contrario modo curris tu.*
SC. *Infelix ego, aliâ aufugit Artamuxia.*
CHO. *Curre nunc in coruos, secundo vento profectus.*
*Sed auditum est satis nobis, vnde tempus quidem est abeundi*
*Domum vnicuique. (nam*
*Ceres autem & Proserpina legiferæ, nobis bo-*
*Horum gratiam retribuant.*

BISETUS. Κροκῶτ' ἔκοντο] ταῦτα μετ' ἐρωτήσεως. ἀντὶ τοῦ, ὁ γέρων ἐστὶ κροκωτὸν εἶχε;

E BOURDINUS. Ἔκοντο] εἶχεν ὁ γέρων, σκυθικῇ διαλέκτῳ. Τοὔμπαλιν] ἐπὶ τοὐναντίον τρέχεις. Ἐπουρίσας.] ἐπακολουθήσας, εὐμενεῖ, καὶ εὐτυχεῖ πνεύματι. Ἀντιδοῖτον.] ἀνταδοῖεν τούτων ἀγαθὴν χάριν.

BISETUS. Ὦ μιαρὸ γραῦ] ὦ μιαρὰ γραῦ. πότερον τρέχει κατὰ τήνδε τὴν ὁδόν; ἤ, πότερον ταύτῃ ἀπέδραμεν, ἢ ἄλλῃ; Ἀλλὰ τρέξι] ἄλλῃ, δι' ἄλλης ὁδοῦ τρέχει, ἢ ἀπέδραμεν. Ἐπουρίσας] οὐρίῳ ἀνέμῳ ὁρμηθείς, ἢ φερόμενος. τουτέστιν, ὡς τάχιστα νῦν ἐς κόρακας ἔρρε. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν πλεόντων, καὶ οὐρίῳ ἀνέμῳ κατὰ τὸν πλοῦν χρωμένων. οὖρος γὰρ ὁ ἄνεμος, παρὰ τὸ ὀρούειν, ὅ F ἐστι παρορμᾶν, καὶ προπέμπειν τὴν ναῦν. καὶ οὐρίζειν, τὸ ἐξ οὐρίων, ἤγουν ἀδινῶν πνευμάτων πλεῖν. Εὐστάθιος. νῦν δὲ σημείωσαι τὸ ἐπουρίσας οὐκ ἐνεργητικῶς, ἀλλὰ παθητικῶς ληπτέον, ὅπερ ἀττικὸν σχῆμα. Πέπυσαι] εἴπερ ἡ γραφὴ καλῶς ἔχει, ἑρμηνεύσεις, ἀλλὰ μετρίως ἡμεῖς ἤδη πεπύσμεθα, καὶ ἠκούσαμεν σκώμματα, καὶ γελοίους λόγους. ὥστε νῦν ὥρα, καὶ καιρός ἐστιν ἑκάστην οἴκαδε βαδίζειν. ἀλλὰ βέλτιον γράφειν, πέπαισται, ὡς ἀπὸ τοῦ παίζω, οὗπερ ὁ μέλλων ἀττικὰς μέν, G παίσω. δωρικῶς δέ, παίξω, εἴτε παιξῶ. ὅτι δὲ καὶ τὸ παίξω, καὶ τὸ παίσω ἐν χρήσει μαρτυρεῖ καὶ Εὐστάθιος εἰς τὸ Ὀδυσσείας θ. ὅπου τούτων πέρι ἀκριβολογεῖ. ἢ ἀπὸ τοῦ παίω, παίσω, ὅπερ ἐλλειπτικῶς δηλοῖ τὸ τοῖς ποσὶ τὴν γῆν τύπτειν, εἴτε κρούειν. ἡ δὲ λέξις ἀπὸ τοῦ παρακολουθοῦντος εἴρηται, ἐπειδὴ οἱ ὀρχούμενοι τὴν γῆν τοῖς ποσὶ παίειν, τύπτειν, κρούειν φιλοῦσιν. Ἀντιδοίτην] κακῶς πρότερον ἀνταδοῖτον ἐγράφετο. ἀλλὰ φανερὸν σφάλμα διορθοῦν οὐ νεμεσητόν. τὸ δὲ ἀντιδοίτην ἐστὶ τρίτον δυϊκὸν πρόσωπον ἀορίστου β. κατὰ συγκοπὴν ἐσχηματισμένον ἐκ τοῦ ἀντιδοιήτην. ἀπὸ τοῦ ἀντιδοίην, ἀντιδοίης, ἀντιδοίη, ἀντιδοίητον, ἀντιδοιήτην, ἤγουν ἀνταποδοίτην, ἡ Δημήτηρ δηλονότι, καὶ ἡ Κόρη. ὁ δὲ νοῦς ἐστιν. ἀντὶ τούτων, ἃ νῦν ποιοῦμεν, ἡ Δημήτηρ, καὶ ἡ Κόρη καλὴν ἡμῖν χάριν ἀποδοιήτην. εἰ δὲ ἀντιδοῖτον γράψῃς, (ὃ τῆς παλαιᾶς γραφῆς ἐγγύτατα χωρεῖ) δυϊκὸν δεύτερον εἴη πρόσωπον κατὰ συγκοπὴν ἐσχηματισμένον. τοῦτο δὲ κατ' ἀποστροφὴν πρὸς τὴν Δήμητρα, καὶ τὴν Κόρην λεχθείη. ὑμεῖς ὦ θεαὶ ἀντιδοίητον ἡμῖν τοῖς ταῦτα ποιοῦσι, καὶ ὑμᾶς τιμῶσιν, ἀντιδοίητον λέγω καλὴν ἀνταπόδοσιν, καὶ καλὴν χάριν. τινὲς δὲ καὶ νομίζουσιν ὡς τὸ χρυσοίτην, χρυσίτην, οὕτω καὶ τὸ ἀντιδοοίτην, ἀντιδοίτην λέγεσθαι, παρὰ τὸ ἀντιδόω, ῶ, τὸ ἀντιδίδωμι. ἀλλὰ τοῦτο μὲν ἐν χρήσει, ἐκεῖνο δὲ ἀχρηστότερον. ὁ μέντοι νοῦς, ὅπως δήποτε γράψῃς, ἐστίν, οἷος ἐν τοῖς προηγουμένοις δεδήλωται. ἡ μὲν οὖν πρώτη, καὶ δευτέρα τῆς διεφθαρμένης γραφῆς ἐπανόρθωσις μεγίστην ἔχει πιθανότητα. ἡ δὲ τελευταία σκληρῶς, βιαίως, ἀχρήστως, καὶ ἀπιθάνως τετολμῆσθαι δοκεῖ.

ΤΕΛΟΣ.